67 ΞΖ'

1 Εἰς τὸ τέλος· τῷ Δαυιδ ψαλμὸς ᾠδῆς.
2 Ἀναστήτω ὁ θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ,
καὶ φυγέτωσαν οἱ μισοῦντες αὐτὸν ἀπὸ προσώπου αὐτοῦ.
3 ὡς ἐκλείπει καπνός, ἐκλιπέτωσαν·
ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός,
οὕτως ἀπόλοιντο οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ θεοῦ.
4 καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν,
ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ θεοῦ,
τερφθήτωσαν ἐν εὐφροσύνῃ.
5 ᾄσατε τῷ θεῷ, ψάλατε τῷ ὀνόματι αὐτοῦ·
ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν, κύριος ὄνομα αὐτῷ,
καὶ ἀγαλλιᾶσθε ἐνώπιον αὐτοῦ.
ταραχθήσονται ἀπὸ προσώπου αὐτοῦ,
6 τοῦ πατρὸς τῶν ὀρφανῶν καὶ κριτοῦ τῶν χηρῶν·
ὁ θεὸς ἐν τόπῳ ἁγίῳ αὐτοῦ.
7 ὁ θεὸς κατοικίζει μονοτρόπους ἐν οἴκῳ
ἐξάγων πεπεδημένους ἐν ἀνδρείᾳ,
ὁμοίως τοὺς παραπικραίνοντας τοὺς κατοικοῦντας ἐν τάφοις.
8 ὁ θεός, ἐν τῷ ἐκπορεύεσθαί σε ἐνώπιον τοῦ λαοῦ σου,
ἐν τῷ διαβαίνειν σε ἐν τῇ ἐρήμῳ
διάψαλμα
9 γῆ ἐσείσθη, καὶ γὰρ οἱ οὐρανοὶ ἔσταξαν,
ἀπὸ προσώπου τοῦ θεοῦ τοῦτο Σινα,
ἀπὸ προσώπου τοῦ θεοῦ Ισραηλ.
10 βροχὴν ἑκούσιον ἀφοριεῖς, ὁ θεός, τῇ κληρονομίᾳ σου,
καὶ ἠσθένησεν, σὺ δὲ κατηρτίσω αὐτήν.
11 τὰ ζῷά σου κατοικοῦσιν ἐν αὐτῇ·
ἡτοίμασας ἐν τῇ χρηστότητί σου τῷ πτωχῷ, ὁ θεός.
12 κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ,
13 ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητοῦ,
καὶ ὡραιότητι τοῦ οἴκου διελέσθαι σκῦλα.
14 ἐὰν κοιμηθῆτε ἀνὰ μέσον τῶν κλήρων,
πτέρυγες περιστερᾶς περιηργυρωμέναι,
καὶ τὰ μετάφρενα αὐτῆς ἐν χλωρότητι χρυσίου.
διάψαλμα.

67 (𝔐 68) $4^2$] pr. και S || $5^3$ > S | $5^4$ ταραχθητωσαν S || $8^2$ εν τη ερ.] την ερημον B† || $9^2$ τουτο] του B* ($9^2$ > S†) || $13^2$] pr. του αγαπητου B (in *O* sub ※)

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/72 UNIVERSITÄT LEIPZIG